D. IOANNIS
CHRYSOSTOMI MISSA
græcolatina.

D.Erasmo R[illegible]odamo interprete.

PARISIIS,
In officina Christiani Wecheli, sub scuto Basiliensi, in uico Iacobæo. Anno.
M. D. XXXVII.

MISSA SANCTI IOANNIS CHRYSOSTOMI.

Oratio quam dicit ſacerdos, priuſquàm ingrediatur templum, ubi ſacrificat.

DOmine deus noſter, emitte manum tuam de ſancto habitaculo tuo, & corrobora me ad propoſitum miniſterii tuum, ut citra condemnationem aſſiſtam metuendo altari, & immaculatum ſacrificium peragam, & nunc & ſemper, & in ſecula ſeculorum. Amen.

Oratio quam dicit ſacerdos, cùm ingreditur.

Pſal.5.b *Introibo in domum tuam, adorabo ad templum ſanctum tuum in timore tuo domine, nunc & ſemper, & in ſecula ſeculorum. Amen.*

Hæc ubi dixit, oſculatur menſam quater, in figuram crucis, & accipit ſticharion, id eſt lineam ueſtem, dextra manu, & oſculatur, ac benedicit eam.

Eſa.61.d. *Exultet anima mea in domino. induit enim me ueſtimentum ſalutis, & tunicam lætitiæ, circumpoſuit mihi mitram, & tanquam ſponſum adornauit*

ΛΕΙΤΟΥΡ-
ΓΙΑ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς πρὸ τοῦ εἰσελθεῖν εἰς τὸ ἱερόν, ὅπου λειτουργεῖ.

Κύριε ὁ θεὸς ἡμῶν ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου. καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου. ἵνα ἀκατακρίτως παραστῶ τῷ φοβερῷ βήματι, καὶ τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς ὅταν εἰσβαίνει.

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, ἐν φόβῳ σου κύριε, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ταῦτα εἰπὼν ἀσπάζεται τὴν τράπεζαν τετράκις εἰς τὸν σταυρόν, καὶ λαμβάνει τὸ στιχάριον μετὰ τῆς δεξιᾶς χειρός, καὶ ἀσπάζεται, καὶ εὐλογεῖ αὐτό.

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ. ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου. καὶ χιτῶνα εὐφροσύνης, περιέθηκέ μοι μήτραν, καὶ ὡς τὸν νυμφίον καὶ τὴν νύμφην

nauit me decore, nunc & semper, & in secula seculorum, Amen.

In ceruicale.

Ibid.92.a. Dominus regnauit, decorem indutus est; *indutus est dominus uirtutem, & circūcinctus est, nunc & semper, & in secula seculorum,* Amen.

In cingulum.

Ibid.44.a Accingere gladio tuo super fœmoribus tuis potens: *specie & pulchritudine tua, & intende, & prosperare, & regna propter ueritatem & mansuetudinem, & iustitiam, & deducet te mirabiliter dextera tua.*

Oratio pallij.

Psal.131.b. & 2.Para.6.g. Sacerdotes tui domine, induentur iustitia, *& sancti tui exultationem exultabunt, nunc & semper, & in secula seculorum,* Amen.

Ad primam sublationem.

Esa.53.c. Tanquam ouis ad mactationem ductus es Christe rex, & tanquam agnus coram eo qui totondit se, mutus: *sic non aperuit os suum. In humilitate illius, iuditium eius sublatū est.* Generationem autem eius quis enarrabit?

Sacrifica domine agnum.

Quoniam tollitur de terra uita illius.

Immolatur agnus dei, qui tollit peccatum mundi.

Ad secundam sublationem.

Precibus domine eius, quæ genuit te, deiparæ, &

πικόσμησέ με κόσμῳ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εἰς τὸ πετραχήλιον.

Ὁ κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο κύριος δύναμιν καὶ περιεζώσατο, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Περιέζωσον τὴν ῥομφαίαν σου, ἐπὶ τὸν μηρῶν σου δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης. καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Εὐχὴ τοῦ φελωνίου.

Οἱ ἱερεῖς σου κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσιν ἀγαλλιάσονται. πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εἰς τὴν πρώτην ἀναφοράν.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης χριστὲ βασιλεῦ, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος. οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν τῇ ταπεινώσει αὐτοῦ, ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται.

Θῦσον δέσποτα τὸν ἀμνόν.

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

Θύεται ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Εἰς τὴν δευτέραν ἀναφοράν.

Πρεσβείαις κύριε τῆς τε κυρίας ἡμῶν θεοτόκου

 καὶ

& semper uirginis Mariæ, sanctarum omnium potestatum spiritualium, preciosi prophetæ præcursoris ac Baptistæ Ioannis, sanctorum gloriosorum apostolorum, & sancti Nicolai, *cuius & memoriam celebramus, miserere, & serua nos.*

Benedictio *tertiæ sublationis.*

Memento *domine augustissimorum & dei obseruantium regum nostrorum.*

Memento *domine spiritualis nostri patris, & totius in Christo fraternitatis nostræ, & omniū qui præmigrarunt è uita, patrum & fratrum nostrorum.*

Ad *infusionem uini.*

Ioan.19.f. Et *unus militum, lancea latus eius aperuit, & continuò exiuit sanguis.*

Et *addens aquam dicit:*

Ibidem. Et *aqua, & qui uidit testimonium perhibuit, & uerum est testimonium eius.*

Diaconus, *Dominum obsecremus.*

Oratio *mystica.*

Domine *deus noster, qui obtulisti te ipsum agnum irreprehensibilem, pro mundi uita, respice ad nos, & ad panem hunc, & ad poculum hoc, & fac illum immaculatum & preciosum tuum sanguinem in transsumptionem animarum & corporum: quoniam sanctificatum est, & glorificatum preciosissimum & augustum nomen tuum, patris, & filij, & spiritus sancti.* Amen.

Oratio *thymiamatis.*

Thymi-

καὶ ἀεὶ παρθένου μαρίας, τῶν ἁγίων πάντων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων ἀποστόλων, καὶ τοῦ ἁγίου Νικολάου, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν ἐλέησον καὶ σῶσον ἡμᾶς.

Εὐλογία διὰ τρίτης ἀναφορᾶς.

Μνήσθητι κύριε τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων ἡμῶν βασιλέων.

Μνήσθητι κύριε τοῦ πνευματικοῦ ἡμῶν πατρὸς, καὶ πάσης τῆς ἐν χριστῷ ἡμῶν ἀδελφότητος, καὶ πάντων τῶν προαπελθόντων πατέρων, καὶ ἀδελφῶν ἡμῶν.

Εἰς τὸ ἐκχέειν τὸν οἶνον.

Καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα.

Καὶ προσθεὶς τὸ ὕδωρ λέγει.

Καὶ ὕδωρ, καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθὴς ἐστὶν ἡ μαρτυρία αὐτοῦ.

Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν.

Εὐχὴ μυστική.

Κύριε ὁ θεὸς ἡμῶν ὁ προθεὶς ἑαυτὸν ἀμνὸν ἄμωμον, ὑπὲρ διὰ τῆς κόσμου ζωῆς. ἔπιδε ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἄρτον τοῦτον, καὶ ἐπὶ τὸ ποτήριον τοῦτο, καὶ ποίησον αὐτὸν ἄχραν τόν σου σῶμα, καὶ τίμιόν σου αἷμα, εἰς μετάληψιν ψυχῶν καὶ σωμάτων, ὅτι ἡγίασαι καὶ δεδόξασαι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἀμήν.

Εὐχὴ τοῦ θυμιάματος.

Thymiama offerimus in conspectu tuo domine deus noster, in odorem beneuolentiæ spiritualis, quam accipe domine in sanctum & supercœleste & intellectuale sacrarium, ac uicissim mitte nobis diuites misericordias tuas, bonas seruis tuis, qui inuocant nomen tuum sanctum: quoniam glorificatum & sanctificatum est preciosissimum & augustum nomen tuum, patris, & filij, & sancti spiritus.

Ad discum.

Abac. 3. a. *Operuit cœlos uirtus eius, & laudis eius plena est terra.*

Cùm tegit calicem.

Psal. 92. a. *Dominus regnauit, decorem indutus est: indutus est dominus fortitudinem, & præcinxit se.*

Cùm mittit nebulam.

Mat. 17. a. et Psa. 32. b *Et nebula lucida obumbrauit eos. Verbo domini cœli stabiliti sunt, & spiritu oris eius omnis uirtus eorum, nunc & semper, & in secula seculorum. Amen.*

Oratio ad oblationem, cùm ponuntur sacra, priusquàm inferantur ad altare: qui locus est in sinistra altaris.

Deus deus noster, qui cœlestem panem alimoniam totius mundi, dominum nostrum IESVM Christum, & deum emisisti seruatorem, & redemptorem, & beneficum, benedicentem, ac sanctificantem nos,

Θυμίαμα προσφέρομέν σοι ἐνώπιόν σου κύριε ὁ θεὸς ἡμῶν εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἣν πρόσδεξαι δέσποτα, εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον, καὶ νοερόν σου θυσιαστήριον. καὶ ἀντικατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου, τὰ ἀγαθὰ τοῖς δούλοις σου, τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου τὸ ἅγιον. ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Εἰς τὸν δίσκον.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

εἰς τὸ καλύψαι τὸν κρατῆρα.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ἐνεδύσατο κύριος δύναμιν καὶ περιεζώσατο.

εἰς τὸ βαλεῖν τὴν νεφέλην.

Καὶ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς. τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εὐχὴ εἰς τὴν πρόθεσιν ὅπου τίθονται τὰ ἱερὰ πρὸ τοῦ κομισθῆναι εἰς τὸ βῆμα. ὅς τις τόπος ἐστὶν ἐν τῇ ἀριστερᾷ τοῦ βήματος.

Ὁ θεὸς ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ θεὸν ἐξαποστείλας σωτῆρα, καὶ λυτρωτήν, καὶ εὐεργέτην, εὐλογοῦντα, καὶ ἁγιάζοντα

ἡμᾶς

nos, ipse benedic oblationem hanc, & accipe eam in supercœlestē tuum sacrarium. Memento quippe bonus & humanus, eorum qui intulerunt & per quos intulerunt. Nósque sine condemnatione serua in celebratione diuinorum tuorum mysteriorum: quoniam benedictum est, & sanctificatum est, & glorificatum est preciosissimum & augustum nomen tuum, patris & filij, & sancti spiritus, nunc, & semper & in secula seculorum. Amen.

Deinde uenit Diaconus, & accipit benedictionem à sacerdote, & sacerdos dicit:

Angelus domini dirigit uiam tuam, & unà nobiscum sacra peraget.

Primum benedicit sacerdos populum:

Gratia sanctissimi, & boni, & uiuificantis spiritus, sit uobiscum.

Sacerdos autem cum diacono, faciunt ascensiones tres in sanctum sacrarium, & accipit benedictionem sacerdotis diaconus, et sacerdos benedicit caput illius, dicens.

Angelus domini dirigit uiam tuam, & reliqua.

Diaconus autem egressus sacrarium, dicit:

Benedic domine.

Et sacerdos: † *Ecphonesis.*

Benedictum regnum patris & filij,

† exclamatio, seu pronunciatio.

&

ὑμᾶς. αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ἐπουράνιόν σου θυσιαστήριον. μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον. καὶ ἡμᾶς ἀκατακρίτως διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων, ὅτι εὐλόγηται, καὶ ἡγίασαι, καὶ δεδόξασαι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

εἶτα ἔρχεται ὁ διάκονος, καὶ λαμβάνει εὐλογίαν ὑπὸ τοῦ ἱερέως· καὶ ὁ ἱερεὺς λέγει.

Ἄγγελος κυρίου κατευθύνοι τὴν ὁδόν σου, καὶ συνλειτουργήσοι μεθ' ἡμῶν.

Πρῶτον εὐλογεῖ ὁ ἱερεὺς τὸν λαὸν, λέγων οὕτως.

Ἡ χάρις τοῦ παναγίου, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ πνεύματος εἴη μεθ' ἡμῶν.

ὁ δὲ ἱερεὺς σὺν τῷ διακόνῳ ποιοῦσι μετανοίας τρεῖς εἰς τὸ ἅγιον θυσιαστήριον. καὶ λαμβάνει εὐλογίαν παρὰ τοῦ ἱερέως. καὶ ὁ ἱερεὺς εὐλογεῖ τὴν κάραν αὐτοῦ, λέγων:

Ἄγγελος κυρίου κατευθύνοι τὴν ὁδόν σου, καὶ τὰ λοιπά.

ὁ δὲ διάκονος ἐξελθὼν ἐκ τοῦ θυσιαστηρίου λέγει:

Εὐλόγησον δέσποτα.

καὶ ὁ ἱερεύς: ἐκφώνησις.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ,

καὶ

& sancti spiritus nunc & semper, & in secula seculorum. Amen.

Tunc diaconus exclamat:

In pace dominum obsecremus.

Populus, *Domine miserere.*

Diaconus,

Pro superna pace, & salute animarum nostrarum dominum rogemus.

Populus, *Domine miserere.*

Diaconus,

Pro pace totius mundi, prosperitate sanctarum dei ecclesiarum, & omnium unione, dominum rogemus.

Populus, *Domine miserere.*

Diaconus,

Pro sancta hac domo, & cum fide, reuerentia, timore dei ingredientibus in eam, dominum rogemus.

Populus, *Domine miserere.*

Diaconus,

Pro uniuerso episcopatu orthodoxorum, honorabili presbyteratu, toto in Christo diaconatu, clero & populo, dominum rogemus.

Populus, *Domine miserere.*

Diaconus,

Pro augustissimis & deo deditis regibus nostris, toto palatio, & exercitu illorum, dominum rogemus.

Populus

καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τότε ὁ διάκονος ἐκφωνεῖ.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, Κύριε ἐλέησον.

ὁ διάκονος,

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς κάτω σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, Κύριε ἐλέησον.

ὁ διάκονος,

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου εὐσταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, Κύριε ἐλέησον.

ὁ διάκονος,

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, φόβου θεοῦ, εἰσιόντων ἐν αὐτῷ, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, Κύριε ἐλέησον.

ὁ διάκονος,

Ὑπὲρ πάσης ἐπισκοπῆς ὀρθοδόξων τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν χριστῷ διακονίας παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, Κύριε ἐλέησον.

ὁ διάκονος,

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός,

Populus, Domine miserere

Diaconus,

Vt illos in bello adiuuet,& subijciat pedibus illorum omnem hostem & inimicum,dominum rogemus.

Populus, Domine miserere.

Diaconus,

Pro sancta hac sola ciuitate tota,& regione, & fide habitantium in eis,dominum rogemus.

Populus, Domine miserere.

Diaconus,

Pro temperie aëris,fertilitate,& temporibus pacificis,dominum rogemus.

Populus, Domine miserere.

Diaconus,

Pro nauigantibus, uiatoribus,ægrotantibus , laborantibus,captiuis,& pro salute illorum, dominum rogemus.

Populus, Domine miserere.

Diaconus,

Vt liberet nos ab omni tribulatione,iræ,& necessitatis,dominum rogemus.

Populus, Domine miserere.

Dum diaconus pronunciat rogationes, sacerdos dicit hanc orationem secretè.

Domine deus noster, cuius robur inestimabile , & gloria incomprehensibilis, cuius misericordia immensurabilis , & humanitas ineffabilis , ipse domine secundum clementiam tuam respice in nos , & ad

sanctam

ὁ λαός, κύριε ἐλέησον.

ὁ Διάκονος,

ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

ὁ Διάκονος,

ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

ὁ Διάκονος,

ὑπὲρ εὐκρασίας ἀέρων εὐφορίας καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

ὁ Διάκονος,

ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον. ὁ Διάκονος,

ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

λέγοντος τοῦ Διακόνου τὰς δεήσεις, ὁ ἱερεὺς λέγει ταύτην μυστικῶς τὴν εὐχήν.

κύριε ὁ θεὸς ἡμῶν οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος. οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος. αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον

BIBLIOTECA UNIVERSITARIA SEVILLA

ſanctam domum hanc, & fac nobiſcum, cúmque his qui nobiſcum uota faciunt, diuites miſericordias tuas, & miſerationes tuas.

Populus, *Domine miſerere.*

Diaconus,

Defende, ſerua, miſerere, cuſtodi nos deus tua gratiá. Sanctiſſimæ, incontaminatæ, ſuper omnes benedictæ, glorioſæ dominæ noſtræ, deiparæ, & ſemper uirginis Mariæ, cum omnibus ſanctis memoriam agentes, noſipſos, & inuicem, & omnem uitam noſtrã Chriſto deo noſtro commendemus.

Populus, *Tibi domine.*

Exclamatio ſacerdotis:

Quoniam decet te omnis gloria, honor, & adoratio, patrem, & filium, & ſanctum ſpiritum, nunc et ſemper, & in ſecula ſeculorum, Amen.

Antiphonum primum, Chorus unus canit:

Pſal. 91.a *Bonum confiteri domino, & pſallere nomini eius altiſſimo:*

Hoc idem in altera chori parte canitur:

Precibus ſanctiſſimæ deiparæ, ſeruator, ſerua nos.

Ibidem. *Ad annunciandum mane miſericor diam tuam & ueritatem tuam omnibus diebus noſtris, precibus deiparæ, ſeruator, ſerua nos.*

Ibidem c. *Quoniam rectus dominus deus noſter, & nunc eſt in iuſtitia uultus illius. Precibus deiparæ, ſeruator, ſerua nos.*

Oratio.

Domine

ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου.

ὁ λαός, κύριε ἐλέησον.

ὁ διάκονος,

ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ ἡμῶν παραθώμεθα.

ὁ λαός, σοὶ κύριε.

ἐκφώνησις τοῦ ἱερέως.

ὅτι πρέποι σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ἀντίφωνον πρῶτον, ἐκφώνησις τοῦ χοροῦ.

ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τὸ ὄνομα αὐτοῦ † ὕψιστε. † forte ὕψισον

τὸ αὐτὸ εἰς τὸ ἄλλον μέρος τοῦ χοροῦ ψάλλεται, πρεσβείαις τῆς παναγίας θεοτόκου, σωτὴρ, σῶσον ἡμᾶς.

τοῦ ἀναγγέλλειν τῷ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου, πάσαις ταῖς ἡμέραις. πρεσβείαις τῆς θεοτόκου, σωτὴρ, σῶσον ἡμᾶς.

ὅτι εὐθὺς κύριος ὁ θεὸς ἡμῶν, καὶ νῦν ὁδὴν ἐν τῇ δικαιοσύνῃ τοῦ προσώπου αὐτοῦ. πρεσβείαις τῆς θεοτόκου, σωτὴρ, σῶσον ἡμᾶς.

εὐχή.

Ibid.27.c. Domine deus serua populum tuum, & benedic hæreditati tuæ, plenitudinem ecclesiæ tuæ serua, sanctifica diligentes decorem domus tuæ. Tu eos uicißim glorifica diuina tua uirtute, et ne deseras nos sperãtes inte.

Diaconus,

Defende, serua, miserere, & custodi nos deus tua gratiã.

Populus, Domine miserere.

Diaconus,

Sãctißimæ, intemeratæ, super omnes benedictæ, gloriosæ dominæ nostræ, deiparæ, & sẽper uirginis Mariæ, cum omnibus sanctis memoriam agentes, nosipsos & inuicem, & omnem uitã nostrã Christo deo nostro commendemus.

Exclamatio sacerdotis:

Quoniam tua est potentia, & tuum est regnum patris, & filij, & sancti spiritus, nunc & semper, & in secula seculorum. Amen.

Antiphonum secundum,

Ibid.92.a. Dominus regnauit, decorem indutus est, indutus est dominus fortitudinem, & præcinxit se.

Etenim firmauit orbẽ terræ, qui non cõmouebitur.
Testimonia tua domine credibilia facta sunt nimis.
Precibus sanctorum serua nos.
Gloria patri, & filio, & reliqua.

Oratio

κύριε ὁ θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπί σέ.

ὁ διάκονος,

ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

ὁ λαός, κύριε ἐλέησον.

ὁ διάκονος,

τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ ἡμῶν παραθώμεθα.

ἐκφώνησις τοῦ ἱερέως,

ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ἀντίφωνον β.

ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο κύριος δύναμιν ἐν ἑδύσατο, καὶ περιεζώσατο.
καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται.
τὰ μαρτύριά σου κύριε ἐπιστώθησαν σφόδρα.
ταῖς πρεσβείαις τῶν ἁγίων σῶσον ἡμᾶς.
δόξα πατρὶ, καὶ υἱῷ, καὶ τὰ λοιπά.

Oratio.

Vnigenitus filius, & uerbum dei, qui est immortalis, quique ut nos saluos faceret, carnem assumpsit, ex sancta deipara, sempérque uirgine Maria, intrepide assumpto homine, & crucifixus deus, mortem morte conculcans, æqualis in trinitate, conglorificatus, cum patre, & spiritu sancto, nunc & semper, & in secula seculorum, Amen.

Diaconus,

Etiam atque etiam, in pace dominum rogemus.

Oratio.

Qui communes has & concordes preces largitus es, quique quando duo aut tres concordant in nomine tuo, petitiones præstaturũ te promisisti: ipse nunc Matt.18.e. *quoque domine seruorum tuorum postulationes ad eorum utilitatem imple, concedens nobis in præsenti seculo cognitionem ueritatis, & in futuro uitam æternam largiaris.*

Diaconus,

Etiam atque etiam in pace dominum rogemus.

Defende, serua, miserere, & cõserua nos deus tua gratiâ.

Populus, *Domine miserere.*

Sanctißimæ, incontaminatæ, super omnes benedictæ, dominæ nostræ, deiparæ, & semper uirginis Mariæ, cum omnibus sanctis memoriam agentes, nosipsos, & inuicem, & omnem uitam nostram Christo deo

nostro

Εὐχή.

Ὁ μονογενὴς υἱὸς, καὶ λόγος τοῦ θεοῦ ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, καὶ σταυρωθεὶς θεὸς ἡμῶν, θάνατον θανάτῳ πατήσας. ἴσος τῆς ἁγίας τριάδος, συνδοξαζόμενος, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. ὁ διάκονος,

ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Εὐχή.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους προσευχὰς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος. αὐτὸς καὶ νῦν δέσποτα τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

ὁ διάκονος,

ἔτι καὶ ἔτι ἐν εἰρήνῃ του κυρίου δεηθῶμεν.

ἀντιλαβοῦ, ὁ διάκονος:

ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

ὁ λαός, κύριε ἐλέησον.

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ

BIBLIOTECA UNIVERSITARIA SEVILLA

nostro commendemus.

Exclamatio sacerdotis:

Quoniam bonus,& humanus deus es,& tibi glo riam referimus,patri,filio,& sancto spiritui,nunc & semper,& in secula seculorum,Amen.

Antiphonum III.

Psal. 94.a Venite exultemus domino, iubilemus deo seruato ri nostro.

Serua nos fili dei unigenite, qui in sanctis es mirabi lis,canentes tibi,alleluia.

Præoccupemus faciem eius in confeßione,& in psal mis iubilemus ei.

Serua nos fili dei unigenite.&c.

Quoniam deus magnus dominus, & rex magnus super omnem terram. *Serua nos,ut suprà.*

Quoniam in manu illius fines terræ, & altitudines montium ipse conspicit. *Serua nos,ut suprà.*

Quoniam ipsius est mare, & ipse fecit illud, & aridam fundauerunt manus eius. *Serua nos,ut suprà.*

Gloria patri,& filio,& spiritui sancto: Sicut erat *in principio, & nunc & semper, & in secula secu lorum,Amen.*

Canuntur hæc à choro.

*Sacerdos autem egreditur è paruo ostio,por tans euangeliū, præcedēte ministro cum lucer na.*Et cōuersus *ad Christi imaginem inter duo ostia*

ἡμῶν παραθώμεθα.

ἐκφώνησις τοῦ ἱερέως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ τὰ λοιπά.

ἀντίφωνον τρίτον.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν θεῷ τῷ σωτῆρι ἡμῶν.

σῶσον ἡμᾶς υἱὲ θεοῦ μονογενὲς, ὁ ἐν ἁγίοις θαυμαστὸς, ψάλλοντάς σοι, ἀλληλούϊα.

προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.

σῶσον ἡμᾶς υἱὲ θεοῦ, καὶ τὰ λοιπά.

Ὅτι θεὸς μέγας κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

σῶσον ἡμᾶς, καὶ τὰ λοιπά.

ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτὸς ὁρᾷ. σῶσον ἡμᾶς, καὶ τὰ λοιπά.

Ὅτι αὐτοῦ ἐστὶν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν, καὶ τὴν ξηρὰν ἐθεμελίωσαν αἱ χεῖρες αὐτοῦ.

δόξα τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Α.

ψάλλεται ταῦτα παρὰ τοῦ χοροῦ.

ὁ δὲ ἱερεὺς ἐξέρχεται ἐκ τῆς μικρᾶς θύρας φέρων τὸ εὐαγγέλιον προερχομένου τοῦ ὑπηρέτου μετὰ λαμπάδος. καὶ ὑποστρέψας πρὸς τὴν τοῦ χριστοῦ εἰκόνα μεταξὺ τῶν δύο

ostia inflexo capite, cum exclamatione dicit hanc orationem, primùm secretè.

Here domine deus noster, qui constituisti in cœlis ordines, & exercitus angelorum & archangelorum in ministerium tuæ gloriæ, fac ut cum nostro ingressu fiat ingressus sanctorum angelorū nobiscum sacra celebrantium, & pariter glorificantium tuam bonitatem.

Tunc addit sacerdos.

Benedictus sit ingressus sanctorum tuorum, nunc & semper, & in secula seculorum, Amen.

Et tollens in altum euangelium in imaginem crucis, magna uoce dicit:

Sapientia recta. *Chorus,*

Venite adoremus, & prouoluamur Christo.

Serua nos fili dei, &c.

Exclamatio:

Quoniam sanctus tu deus noster, & tibi ter sanctum hymnum referimus, patri, & filio, & sancto spiritui. Amen.

Cantor uerò canit hæc ter.

Sanctus deus, sanctus fortis, sanctus immortalis, miserere nobis.

Gloria patri, & filio, & sancto spiritui, nunc & semper, & in secula seculorum, Amen.

Cantor uerò canit hæc magna uoce:

Sanctus immortalis, miserere nobis,

Sanctus deus, sanctus immortalis, miserere nobis.

Dum

θυρῶν κλίνας κεφαλὴν, μετὰ ἐκφωνήσεως λέγει ταύτην εὐχὴν, πρῶτον μυστικῶς.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης: ποίησον σὺν εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῶν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Τότε προστίθησι ὁ ἱερεύς:

εὐλογημένη εἴη ἡ εἴσοδος τῶν ἁγίων σου, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

καὶ ὑψώσας τὸ εὐαγγέλιον εἰς μίμησιν σταυροῦ, μεγάλῃ τῇ φωνῇ λέγει.

Σοφία ὀρθή. ὁ χορός,

δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν χριστῷ. σῶσον ἡμᾶς υἱὲ θεοῦ. καὶ τὰ λοιπά.

ἐκφώνησις.

ὅτι ἅγιος σὺ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὸν τρισάγιον ὕμνον ἀναπέμπωμεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. ἀμήν.

ὁ ψάλτης ψάλλει ταῦτα τρίς.

ἅγιος ὁ θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. ἀμήν.

δόξα πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ὁ δὲ ψάλτης ψάλλει ταῦτα μεγάλῃ τῇ φωνῇ.

ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ἅγιος ὁ θεὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ὅταν

Dum hæc canuntur, sacerdos dicit tacitè hanc orationem.

Deus sancte, qui in sanctis requiescis, qui ter sancta uoce à Seraphim laudaris, & à Cherubim glorificaris, & ab omni supercœlesti potestate adoraris: qui à non ente ad esse producis uniuersa, qui hominem condidisti iuxta imaginem tuam & similitudinem, cúmque omni tua gratia coornasti, dans postulanti sapientiam & intellectum, non despiciens errantem, sed ponens ad salutem pœnitentiam: qui dignatus es nos humiles, & indignos seruos tuos, etiam in hoc tempore constituere in conspectu gloriæ sancti sacrarij tui, ut prouoluantur tuis miserationibus, & debitam tibi adorationem, & glorificationem offerant, ipse domine suscipe ex ore nostro peccatorum, ter sanctum hymnum, & respice nos in bonitate tua. Condona nobis omne delictum, & uoluntarium, & inuoluntarium, & sanctifica nostras animas, & corpora. Et da nobis in pietate seruire tibi omnibus diebus uitæ nostræ, precibus sanctæ deiparæ, & omnium sanctorum, qui à seculo tibi placuerunt.

Sacerdos,

Attendamus. Pax omnibus.

Sapientia recta.

Cantor, Psalmus Dauid.

Diaconus, Attendamus.

Cantor, Quod proponitur.

Et post id quod proponitur, sacerdos dicit:

Qui

ὅταν ταῦτα ψάλλονται, ὁ ἱερεὺς λέγει μυστικῶς ταύτην τὴν εὐχήν.

Ὁ θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν. καὶ παντί σου χαρίσματι κατακοσμήσας, καὶ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν. ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ προσαπεστῆναι τοῖς οἰκτιρμοῖς σου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν, αὐτὸς δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα. καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

ὁ ἱερεύς. Πρόσχωμεν. εἰρήνη πᾶσι. σοφία ὀρθοί.

ὁ ψάλτης. ψαλμὸς τοῦ Δαβίδ.

ὁ διάκονος. πρόσχωμεν.

ψάλτης. τὸ προκείμενον.

μετὰ τὸ προκείμενον ὁ ἱερεὺς λέγει:

ὁ ποιῶν

Psal.103.d. *Qui facit angelos suos spiritus, & ministros suos ignis flammam.* Versus.

Ibid.102.d. *Benedic anima mea domino, & omnia quæ intra me sunt nomini sancto eius.*

Tunc dicit epistolam ad Hebræos.

Epistola Pauli. Lectio,

Hebr.2.a. *Fratres, Si enim per angelos dictus sermo fuit firmus, &c.*

Post epistolam sacerdos dicit:

Pax omnibus.

Cantor, *Sapientia recta,*

Psalmus Dauid, & alleluia.

Psal.67.c. Tunc uenit diaconus ad sacerdotem flexo capite, sacerdos autem orat super eum:

Dominus dabit uerbum euangelizantibus uirtute multa, per preces dominæ nostræ, deiparæ, & semper uirginis Mariæ, sancti & gloriosi apostoli & euangelistæ huius.

Et sacerdos,

Sapientia recta, Audiamus sanctum euangeliū.

Diaconus, Ex lucæ euangelio.

Et populus, Gloria tibi domine.

Et sacerdos Attendamus:

Diaconus,

Luc.10.c. Dixit dominus suis discipulis: Qui uos audit, me audit: & qui spernit uos, me spernit, &c.

Post euangelium, Diaconus:

Dicamus omnes ex tota anima, & ex tota mente

ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. στίχος.

εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

τότε λέγει τὴν ἐπιστολὴν πρὸς ἑβραίους.

ἐπιστολὴ παύλου, τὸ ἀνάγνωσμα:

ἀδελφοί. εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος. καὶ τὰ λοιπά.

μετὰ τὴν ἐπιστολὴν ὁ ἱερεὺς λέγει:

εἰρήνη πᾶσι.

Σοφία ὀρθή. ὁ ψάλτης.

ψαλμὸς τοῦ δαβίδ, καὶ τὸ ἀλληλούϊα.

τότε ἔρχεται ὁ διάκονος εἰς τὸν ἱερέα κεφαλοκλινόμενος. ὁ δὲ ἱερεὺς ἐπεύχεται ἐπάνω αὐτοῦ.

κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, διὰ πρεσβειῶν τῆς δεσποίνης ἡμῶν, θεοτόκου, καὶ ἀεὶ παρθένου μαρίας, τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου, καὶ εὐαγγελιστοῦ τοῦδε.

καὶ ὁ ἱερεύς,

Σοφία ὀρθή. ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου.

ὁ διάκονος, ἐκ τοῦ κατὰ λουκᾶν.

καὶ ὁ λαός, Δόξα σοι κύριε δόξα σοι.

καὶ ὁ ἱερεύς, πρόσχωμεν.

ὁ διάκονος.

εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς: ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ.

μετὰ τὸ εὐαγγέλιον ὁ διάκονος,

εἴπωμεν πάντες ἐξ ὅλης ψυχῆς, καὶ ἐξ ὅλης τῆς δι-

ανοίας

te dicamus.

Sacerdotis exclamatio:

Ezec.18.g Domine omnipotens deus patrum nostrorum, di- ues in misericordia, & bonus in miserationibus, qui non uis mortem peccatoris, sed expectas conuersionem & pœnitentiam, ut conuertatur, & uiuat.

Diaconus,

Pro sancta domo hac, & ijs qui cum fide, pietate, et timore dei ingrediuntur eam, rogemus.

Populus, Domine miserere.

Diaconus,

Vt liberet nos ab omni tribulatione, iræ, & necessi- tatis, dominum rogemus.

Oratio secreta.

Domine deus noster, prolixam hanc supplicatio- nem accipe à tuis seruis, & miserere nostri secundum multitudinem misericordiæ tuæ, & miserationes tuas dimitte super nos, me super omnem populum tuum, expectantem abs te diuitem misericordiam.

Diaconus,

Vt propitius, beneuolus, & placabilis fiat, domi- num rogemus.

Populus, Domine miserere.

Vt exaudiat dominus deus uocem deprecationis nostræ peccatorum, dominum rogemus.

Populus, Domine miserere.

Pro spirituali nostro patre, sacræ legis admini- stratore, & omni in Christo ministerio, dominū rog.

Populus

ανοίας εἴπωμεν. ἐκφώνησις τοῦ ἱερέως

κύριε παντοκράτορ ὁ θεὸς τῶν πατέρων ἡμῶν, ὁ πλούσιος ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ ἀναμένων τὴν ἐπιστροφὴν, καὶ μετάνοιαν ἵνα ἐπιστρέψῃ καὶ ζῇ.

ὁ διάκονος,

ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ, δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον. ὁ διάκονος,

ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν.

εὐχὴ μυστική.

κύριε ὁ θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

ὁ διάκονος,

ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

ὑπὲρ τοῦ εἰσακοῦσαι κύριον τὸν θεὸν τῆς φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

ὑπὲρ τοῦ πνευματικοῦ ἡμῶν πατρὸς τοῦ δεῖνος ἱερομονάζοντος, καὶ πάσης τῆς ἐν Χριστῷ διακονίας τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός,

Populus, Domine miserere.

Pro omnibus qui ante nos laborarunt, & sacris initiarunt, dominum rogemus.

Populus, Domine miserere,

Pro circunstante populo, & expectante abs te diuinam misericordiam, dominum rogemus.

Populus Domine miserere.

Exclamatio sacerdotis:

Quoniam misericors, & amans hominum est deus, & tibi gloriam referimus, patri, & filio, & sancto spiritui, nunc et semper, & in secula seculorum. A.

Diaconus,

Precamini catechumeni dominum.

Fideles, pro catechumenis rogemus, ut dominus eorum misereatur.

Populus, Domine miserere.

Diaconus,

Catechizabit eos uerbo ueritatis.

Populus, Domine miserere.

Diaconus,

Aperiet illis euangelium iustitiæ.

Populus, Domine miserere.

Diaconus,

Aduniet eos sanctæ suæ catholicæ, & apostolicæ ecclesiæ.

Populus, Domine miserere.

Sacerdos,

Serua, miserere, & custodi eos deus tua gratia.

Oratio

ὁ λαός, κύριε ἐλέησον.

ὑπὲρ πάντων τῶν προκοπιασάντων, καὶ ἀφιερωσάντων, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον ἔλεος, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

ἐκφώνησις τοῦ ἱερέως:

ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. ὁ διάκονος,

εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ.

οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ κύριος αὐτοὺς ἐλεήσῃ.

ὁ λαός, κύριε ἐλέησον.

ὁ διάκονος,

κατηχήσει αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας.

ὁ λαός, κύριε ἐλέησον.

ὁ διάκονος,

ἀποκαλύψει αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

ὁ λαός, κύριε ἐλέησον.

ὁ διάκονος,

ἑνώσει αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

ὁ λαός, κύριε ἐλέησον. ὁ ἱερεύς,

σῶσον, ἐλέησον, καὶ διαφύλαξον αὐτοὺς ὁ θεὸς τῇ σῇ χάριτι.

ὁ διά-

Diaconus,

Catechumeni capita uestra domino flectite.

Oratio sacerdotis super catechumenos:

Domine deus noster qui in altis habitas, & humilia respicis, qui salutem hominũ generi emisisti unigenitum tuum filiũ, & deũ dominum nostrum IESVM Christum, respice super seruos tuos catechumenos, quique tibi suas ceruices inclinarunt, ac dignos eos facito in tempore opportuno, lotione renascentiæ, remissione peccatorum, & indumento incorruptionis. Aduni eos sanctæ tuæ catholicæ & apostolicæ ecclesiæ, & annumera eos electo tuo ouili.

Exclamatio sacerdotis:

Vt & ipsi nobiscum glorificent preciosissimum & augustum nomen tuum, patris, & filij, & sancti spiritus, nunc & semper, & in secula seculorum, Amen.

Diaconus,

Quotquot estis catechumeni accedite. Catechumeni accedite. Quotquot estis catechumeni accedite. Ne quis catechumenorum, quotquot estis fideles, etiam atque etiam in pace dominum rogemus.

Oratio fidelium prima:

Gratias agimus tibi domine deus uirtutum, qui dignatus es nos, ut assistamus, & nunc tuo sancto sacrario, & ut prouoluamur tuis miserationibus, pro nostris peccatis, & populi ignorantijs, suscipe deus deprecationem nostram: fac nos dignos, ut offeramus tibi deprecationes, &

Ὁ διάκονος, Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε.

Εὐχὴ τοῦ ἱερέως ὑπὲρ τῶν κατηχουμένων.

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου υἱόν, καὶ θεὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, καὶ ὑποκεκλικότας τοὺς ἑαυτῶν αὐχένας, καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ ἐνδύματος τῆς ἀφθαρσίας, ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνησις τοῦ ἱερέως,

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Ὁ διάκονος,

Ὅσοι κατηχούμενοι προσέλθετε, οἱ κατηχούμενοι προσέλθετε. ὅσοι κατηχούμενοι προσέλθετε, μή τις τῶν κατηχουμένων, ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ κυρίου δεηθῶμεν. Εὐχὴ πιστῶν πρώτη.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. πρόσδεξαι ὁ θεὸς τὴν δέησιν ἡμῶν. ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν δεήσεις,

 καὶ

& supplicationes, & sacrificia immaculata pro populo tuo: & idoneos nos redde, quos posuisti in ministerio tuo hoc, in uirtute spiritus tui sancti, sine condemnatione, & offensa in puro testimonio conscientiæ nostræ, ut inuocemus te in omni tempore, & loco, ut exaudiens nos, propitius nobis sis in multitudine bonitatis tuæ.

Diaconus,

Defende, serua, miserere, & cõserua nos deus tua gratiâ.

Populus.

Domine miserere,

Diaconus, Sapientia; Sacerdos exclamat,

Quoniam te decet omnis gloria, honor, & adoratio, patrem, & filium, & sanctum spiritum, nunc & semper, & in secula seculorum, Amen.

Diaconus,

Etiam atque etiam in pace dominum rogemus.

Diaconus autem dicit litanias.

Oratio fidelium secunda,

Iterum & sæpius tibi prouoluimur, & te rogamus bone, & humane, ut respicias ad deprecationem nostram. Purifica nostras animas, & corpora ab omni inquinamento, carnisque & spiritus: & da nobis ut innoxij, & sine condemnatione aßistamus sancto tuo sacrario. da uerò deus, etiam his, qui nobiscum rogant profectum uitæ, & fidei, & intelligentiæ spiritu-

καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους ὑπὲρ τοῦ λαοῦ σου. καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου, ἀκατακρίτως, καὶ ἀπροσκόπτως ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ, καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

ὁ διάκονος,

ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

ὁ λαός, κύριε ἐλέησον.

ὁ διάκονος, σοφία.

ἐκφώνησις τοῦ ἱερέως,

ὅτι σοὶ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ὁ διάκονος,

ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ὁ δὲ διάκονος λέγει τὰς λιτανείας.

εὐχὴ πιστῶν δευτέρα,

πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ, καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν. καθάρισον ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα, ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς τε καὶ πνεύματος, καὶ δώῃς ἡμῖν ἀνένοχον, καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. χάρισαι δὲ ὁ θεὸς, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως

 πνευμα-

ſpiritualis. Da ipſis ſemper cum timore & dilectione ſeruientibus tibi, citra noxam, & abſque condemnatione participes eſſe ſanctorum tuorum myſteriorum, & ſupercœleſti tuo regno dignos haberi.

Diaconus,

Defende, ſerua, miſerere noſtri deus tua gratia.

Populus, Domine miſerere.

Diaconus, Sapientia.

Exclamatio ſacerdotis,

Vt à tua uirtute ſemper ſeruati tibi gloriam referamus, patri, & filio, & ſancto ſpiritui, nunc & ſemper, & in ſecula ſeculorum, Amen.

Oratio Cherubici,

Nullus dignus eſt, implicitus carnalibus deſideriis & uoluptatibus, accedere, aut appropinquare, aut miniſtrare tibi rex gloriæ. Siquidem miniſtrare tibi, magnum, ac formidandum etiam ſupercœleſtibus uirtutibus. Attamen propter ineffabilem & immenſam tuam humanitatem intrepidè & irreuocabiliter factus es homo, & ſummus pontifex noſter. Sacrificiorum ritum inſtituiſti, ac ſolennis huius & immaculati ſacrificij celebrationem nobis tradidiſti, tanquam dominus omnium. Tu enim ſolus domine deus noſter dominaris ſupercœleſtibus & terreſtribus, qui ſuper thronum Cherubicum ueheris, qui Seraphim dominus & rex Iſraël, qui ſolus ſanctus es, & in ſanctis requieſcis. Te igitur exoro

ſolum

πνευματικῆς. Δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ
ἀγάπης λατρεύουσί σοι ἀνενόχως καὶ ἀκατακρίτως
μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου
σου βασιλείας ἀξιωθῆναι.

ὁ Διάκονος,

ἀντιλαβοῦ, σῶσον, ἐλέησον ἡμᾶς, ὁ θεὸς τῇ σῇ
χάριτι.

ὁ λαός, κύριε ἐλέησον.

ὁ διακ. Σοφία. ἐκφώνησις τοῦ ἱερέως,

ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ
δόξαν ἀναπέμπωμεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ
ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων, ἀμήν.

εὐχὴ τοῦ χερουβικοῦ.

οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκι=
καῖς ἐπιθυμίαις, καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προ=
σεγγίζειν, ἢ λειτουργεῖν σοὶ βασιλεῦ τῆς δόξης. τὸ γὰρ δι
ακονεῖν σοὶ, μέγα καὶ φοβερὸν, καὶ αὐταῖς ταῖς ἐ=
πουρανίαις δυνάμεσιν. ἀλλ᾽ ὅμως διὰ τὴν ἄφατον
καὶ ἀμέτρητον σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀ=
ναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν
ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμά
κτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δε=
σπότης τῶν ἁπάντων. σὺ γὰρ μόνος κύριε ὁ θεὸς
ἡμῶν δεσπόζεις τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων.
ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σερα=
φὶμ κύριος καὶ βασιλεὺς τοῦ ἰσραὴλ, ὁ μόνος ἅγιος καὶ
ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ

solum bonum & placabilem, respice ad me peccatorem, & inutilem seruum tuum, ac purga animam meam, & cor à conscientia mala, & idoneum me redde, uirtute sancti tui spiritus indutum, tui sacerdotij gratiâ, ut assistam sanctæ tuæ huic mensæ, et consecrē sanctum & immaculatum tuum corpus, & preciosum sanguinem. Ad te enim accedo inflexa mea ceruice, & precor te, ne auertas faciem tuam à me, neque reprobes me à pueris tuis; sed patiaris, ut offerantur tibi à me peccatore, & indigno seruo tuo dona hæc. Tu enim es, qui offers, & offerris, & accipiens, & dans Christe deus noster. Ac tibi gloriam referimus, cum patre tuo, initio carente, & sanctissimo, ac bono, ac uiuificante tuo spiritu, nunc & semper, & in secula seculorum, Amen.

Et cùm sacerdos dicit hanc orationem, cantores canunt hæc.

Qui Cherubim mysticè repræsentamus, & uiuificanti trinitati ter sanctum hymnum canimus, & omnem uitæ deponimus solicitudinem, tanquam regem omnium suscipientes, & angelicis inuisibiliter stipati agminibus, Alleluia.

Sacerdos uerò post orationem sequitur diaconum, & uadit ad oblationem. Et inclinatis capitibus ter in terram, sumunt, diaconus quidem corpus, sacerdos uerò

sangui-

τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν, καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν, καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας σου χάριν, παραστῆναι τῇ ἁγίᾳ σου τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον, καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιόν σου αἷμα, σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. μηδὲ ἀποδοκιμάσῃς με ἐκ τῶν ἐκλεκτῶν σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ τὰ δῶρα ταῦτα. σὺ γὰρ εἶ ὁ προσφέρων καὶ ὁ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Καὶ ὅταν λέγει ὁ ἱερεὺς ταύτην τὴν εὐχὴν, οἱ ψάλται ψάλλουσι ταῦτα,

Οἱ τὰ χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ τριάδι τὸν τρισάγιον ὕμνον ᾄδοντες, καὶ πᾶσαν τὴν βιωτικὴν ἀποθέμεθα μέριμναν, ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξάμενοι ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενοι τάξεσιν, ἀλληλούϊα.

ὁ δὲ ἱερεὺς μετὰ τὴν εὐχὴν ἀκολουθεῖ τῷ διακόνῳ. καὶ πορεύεται εἰς τὴν πρόθεσιν, καὶ κλίναντες τὰς κεφαλὰς εἰς τὴν γῆν τρὶς, λαμβάνουσιν, ὁ μὲν διάκονος τὸ σῶμα, ὁ δὲ ἱερεὺς τὸ

αἷμα

ſanguinem,& exeunt ex paruo oſtio,dicente ſacerdote paulum egreſſo:

Meminerit tui dominus deus in regno ſuo,nunc et ſemper,& in ſecula ſeculorum,Amen.

Et ſi quis eſt epiſcopus,dicit:

Sancte ſacerdos memento mei:

Sacerdos autem dicit:

Meminerit tui dominus deus noſter in regno ſuo.

Et iterum,ac tertiò dicit:

Luc.23.e *Memento mei,dum ueneris in reguum tuum.*

Poſt hæc ingreßi alterum oſtium, ponunt ſacra dona in magno altari. Et dicit ſacerdos hæc:

Ioan.19.g. Decorus ille Ioſeph à ligno deponens immaculatum tuum corpus, ſyndone pura inuoluit, & aromatibus,impoſuit monumento nouo.

Diaconus egrediens dicit:

Impleamus deprecationem noſtram domino.

Populus, Domine miſerere.

Diaconus,

Pro appoſitis & ſanctificatis precioſis donis, dominum rogemus.

Populus, Domine miſerere.

Diaconus,

Pro ſancta domo hac, & eum fide ,pietate, ac timore dei ingredientibus in eam , dominum rogemus.

Populus Domine miſerere.

Diaco-

αἷμα, καὶ ἐξέρχονται ἐκ τῆς μικρᾶς θύρας,
λέγοντος τοῦ ἱερέως μικρὸν ἐξελθόντος,
μνησθείη σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ.
πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Α.
καὶ εἰ ἔστι τις ἐπίσκοπος λέγει,
ἅγιε ἱερεῦ μνήσθητί μου.
ὁ δὲ ἱερεὺς λέγει,
μνησθείη σου κύριος ὁ θεὸς ἡμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ.
πάλιν καὶ τρίς,
μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.
μετὰ δὲ ταῦτα εἰσελθόντες τὴν ἑτέραν
θύραν, τίθησι τὰ ἱερὰ δῶρα εἰς τὸ μέγα
βῆμα, καὶ λέγει ὁ ἱερεὺς ταῦτα,
ὁ εὐσχήμων ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄ-
χραντόν σου σῶμα, σινδόνι καθαρᾷ συλλήξας, καὶ
ἀρώμασιν, ἐν ἔθηκεν ἐν μνήματι καινῷ.
ὁ διάκονος ἐξελθὼν λέγει,
πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ.
ὁ λαός, κύριε ἐλέησον.
ὁ διάκονος,
ὑπὲρ τῶν προτεθέντων, καὶ ἁγιασθέντων τιμί-
ων δώρων, τοῦ κυρίου δεηθῶμεν.
ὁ λαός, κύριε ἐλέησον.
ὁ διάκονος,
ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πί-
στεως, εὐλαβείας, καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐ-
τῷ, τοῦ κυρίου δεηθῶμεν.
ὁ λαός, κύριε ἐλέησον.

ὁ διά-

Diaconus,

Vt liberet nos ab omni tribulatione iræ, & necessitatis, dominum rogemus.

Populus, Domine miserere.

Oratio post depositionem sanctorum donorum. Sacerdos,

Domine deus noster, qui omnipotens es, qui solus sanctus, qui accipis sacrificium laudis ab ijs, qui inuocant te in toto corde, accipe & nostram peccatorum deprecationem, & adducito in sanctum tuum sacrarium. Et idoneos nos redde ad inferenda tibi dona & sacrificia spiritalia pro nostris peccatis, & populi ignorantijs, & dignos nos fac, ut inueniamus gratiam in conspectu tuo, ut acceptabile fiat sacrificium nostrum, & ut obumbret spiritus gratiæ tuæ bonus super nos, & super proposita dona hæc, & omnem populum tuum.

Populus, Præsta domine. Diaconus,

Subueni, serua, miserere, & custodi nos deus tua gratia.

Populus, Præsta domine. Diaconus,

Diem omnem perfectum, sanctum, pacificum, peccati expertem à domino postulemus.

Populus, Præsta domine. Diaconus,

Angelum pacis, fidelem ducem, custodem animarum & corporum nostrorum à domino postulemus.

Populus, Præsta domine. Diaconus,

Veniam & remissionem peccatorum & delictorum

ὁ διάκονος,

ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως
ὀργῆς καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

εὐχὴ μετὰ τὴν ἀπόθεσιν τῶν ἁγίων δώρων.

κύριε ὁ θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ μόνος ἅγι-
ος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλου-
μένων σοι ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁ-
μαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ
σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι
δῶρα, καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων
ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, καὶ κατα-
ξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι
σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν. καὶ ἐπισκηνῶσαι
τὸ πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ
τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν
λαόν σου.

ὁ λαός, παράσχου κύριε. ὁ διάκ.

ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡ-
μᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

ὁ λαός, παράσχου κύριε. ὁ διάκ.

τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ
ἀναμάρτητον παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ διάκ.

ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυ-
χῶν, καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ διάκ.

συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημ-

μελη

ctorum nostrorum à domino postulemus.

Populus, Præsta domine,

Honesta & conducibilia animabus nostris, & pacem mundo à domino postulemus.

Populus, Præsta domine.

Reliquum tempus uitæ nostræ, in pace & pœnitentia nostra, à domino postulemus.

Populus, Præsta domine.

Christianum finem uitæ nostræ, doloris, ac turpitudinis expertem, pacatum, & honestam defensionem à domino postulemus.

Populus, Præsta domine.

Sanctißimæ, immaculatæ, super omnes benedictæ, dominæ nostræ, deiparæ, & semper uirginis Mariæ, cum omnibus sanctis memoriam faciētes, nosipsos, & inuicem, & omnem uitam nostram Christo deo nostro commendemus.

Exclamatio.

Propter miserationes unigeniti tui filij, cum quo benedictus es, cum sanctißimo & bono, et uiuificante tuo spiritu, nunc & semper, & in secula seculorum, Amen

Sacerdos, Pax omnibus.

Populus, Et cum spiritu tuo.

Diaconus,

Diligamus inuicem, ut in concordia confiteamur.

Populus,

Patrem, filium, & sanctum spiritum, trinitatem unius essentiæ, & inseparabilem.

Tunc

μελημάτων ἡμῶν παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ διάκ.

τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τοῦ κόσμου παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ διάκ.

τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἡμῶν παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ διάκ.

χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ διάκ.

τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου, καὶ ἀειπαρθένου μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, χριστῷ τῷ θεῷ ἡμῶν παραθώμεθα.

ἐκφώνησις τοῦ ἱερέως,

διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Α.

ὁ ἱερεύς, εἰρήνη πᾶσι.

ὁ λαός, καὶ μετὰ τοῦ πνεύματός σου.

ὁ διάκονος,

ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν. ὁ λαός,

πατέρα, υἱόν, καὶ ἅγιον πνεῦμα τριάδα ὁμοούσιον, καὶ ἀχώριστον.

τότε

Tunc osculatur sacerdos operculum quater, & dicit:

Hostia, hostia, in sapientia attendamus.

Lector autem dicit:

Credo in unum deum, patrem omnipotentem, creatorem cœli & terræ, uisibiliúmque omnium & inuisibilium: & reliqua.

Post symbolum autem dicit sacerdos:

Stemus honestè, stemus cum timore.

Attendamus sacram sublationem in pace offerre.

Chorus,

Misericordiam pacis, laudis hymnum.

Exclamatio sacerdotis:

Gratia domini nostri IESV Christi, & dilectio dei patris, & communio sancti spiritus, sit cum omnibus uobis.

Populus, Amen.

Diaconus, Sursum habeamus corda.

Populus, Habemus ad dominum.

Diaconus, Gratias agamus domino.

Populus, Dignum & iustum est.

Sacerdos secretè,

Dignum & iustum te canere, te benedicere, te laudare, tibi gratias agere, te adorare in omni loco dominationis. Tu enim es deus ineffabilis, incogitabilis, inuisibilis, incomprehensibilis, semper existens, eodem modo existens, tu & unigenitus tuus filius & spiritus

tuus

τότε ἀσπάζεται ὁ ἱερεὺς τὸ κάλυμμα τετράκις, καὶ λέγει,

τὰς θύρας, τὰς θύρας ἐν σοφίᾳ πρόσχωμεν.

ὁ δὲ ἀναγνώστης λέγει,

πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ, καὶ γῆς, ὁρατῶν τε πάντων, καὶ ἀοράτων, καὶ τὰ λοιπά.

μετὰ δὲ σύμβολον λέγει ὁ ἱερεύς,

στῶμεν καλῶς, στῶμεν μετὰ φόβου θεοῦ.

πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

ὁ χορός,

ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

ἐκφώνησις τοῦ ἱερέως,

ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, καὶ ἡ ἀγάπη, τοῦ θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ἡμῶν.

ὁ λαός, ἀμήν.

ὁ διάκονος, ἄνω σχῶμεν τὰς καρδίας.

ὁ λαός, ἔχομεν πρὸς τὸν κύριον.

ὁ διάκονος, εὐχαριστήσωμεν τῷ κυρίῳ.

ὁ λαός, ἄξιον καὶ δίκαιον.

ὁ ἱερεὺς μυστικῶς,

ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. σὺ γὰρ εἶ θεὸς ἀνέκφρασος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὢν σύ, καὶ ὁ μονογενής σου υἱός, καὶ τὸ πνεῦμά

tuus sanctus. Tu à nihilo ad esse nos produxisti, pro lapsos restituisti rursum, neq; destitisti omnia facere, donec nos in cœlū subduceres, & regnū largireris futurum. Gratias agimus tibi & unigenito tuo filio, & spiritui tuo sancto, pro omnibus quæ scimus, & quæ non scimus, manifestis & occultis beneficijs tuis in nos collatis. Gratias agimus tibi & pro hoc ministerio, quod è manibus nostris accipere dignatus es. Et quidem tibi aßistunt milia archangelorum, & multa milia angelorum, Cherubim ac Seraphim, senis alis, pluribus oculis, sublimia, pennata.

Exclamatio sacerdotis,

Victorialem hymnum canentia, uociferantia, clamantia & dicentia:

Populus,

Sāctus, sanctus, sanctus, dominus sabaoth. Pleni sunt cœli & terra gloria tua osanna in excelsißimis. Benedictus qui uenit in nomine domini.

Sacerdos autem inclinato capite dicit:

Cum his & nos beatis potestatibus, domine hominum amator clamamus, & dicimus, : Sanctus es, & totus sanctus: tu & unigenitus filius tuus, ac spiritus sanctus, sanctus es, & totus sanctus, & magnifica gloria tua, qui mundum tuum sic dilexisti, ut
Ioan.3.b. *filium tuum unigenitum dares, ut omnis credens in illum non pereat, sed habeat uitam æternam: qui*

uenies,

σὺ εἶ ἅγιον, σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρή-
γαγες, παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ
ἀπέστησας πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρα-
νὸν ἀνήγαγες, καὶ βασιλείαν ἐχαρίσω τὴν μέλ-
λουσαν. ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι,
καὶ τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ πνεύματί σου
τῷ ἁγίῳ. ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσ-
μεν, τῶν φανερῶν, καὶ ἀφανερῶν εὐεργεσιῶν τῶν εἰς
ἡμᾶς γεγενημένων, εὐχαριστοῦμέν σοι. καὶ ὑπὲρ
τῆς λειτουργίας ταύτης ἣν ἐκ τῶν χειρῶν ἡμῶν
λαβεῖν κατηξίωσας. καίτοι σοι παρεστήκασι χι-
λιάδες ἀρχαγγέλων, καὶ μυριάδες ἀγγέλων, τὰ
χερουβὶμ καὶ τὰ σεραφίμ, ἑξαπτέρυγα, πολυόμ-
ματα, μετάρσια, πτερωτά.

Ἐκφώνησις τοῦ ἱερέως,

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγό-
τα καὶ λέγοντα: ὁ λαός,

ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ. πλήρεις εἰ-
σὶν οἱ οὐρανοὶ, καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.
εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

ὁ δὲ ἱερεὺς κλίνας τὴν κεφαλὴν, λέγει:

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, δέ-
σποτα φιλάνθρωπε, βοῶμεν, καὶ λέγομεν, ἅγιος εἶ καὶ
πανάγιος σὺ, καὶ ὁ μονογενής σου υἱὸς, καὶ τὸ πνεῦμά σου
τὸ ἅγιον. ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς
ἡ δόξα σου. ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας,
ὥστε τὸν υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύ-
ων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. ὃς

ueniēs, et omnē pro nobis dispensationē adimpēs, nocte qua traditus est: magis aūt se ipsum tradidit pro mundi uita, accipiens panem in sanctis suis, & immaculatis, & incontaminatis manibus, gratias agens, benedicens, sanctificans, frangens dedit sanctis suis discipulis, & apostolis, dicens, Accipite, *comedite . hoc est corpus meum , quod pro nobis frangitur in remißionem peccatorum.* Chorus, Amen.

Matt. 26. & Marci 14. c. & Luc. 22. b.

Similiter postquàm cœnatum est, accipiens calicem, & benedicens, dicit, Bibite *ex eo omnes . hic est sanguis meus noui testamenti, qui pro uobis & multis effunditur in remißionem peccatorum.*

Secreta oratio.

Memoriam igitur agentes salutaris huius mandati, & omnium pro nobis factorum, crucis, sepulchri, triduanæ resurrectionis, in cœlos ascensionis , ad dexteram consessus, secundi & gloriosi rursum aduentus.

Exclamatio sacerdotis,

Tua ex tuis tibi offerentes , & omnia , & per omnia.

Chorus,

Te laudamus, tibi benedicimus, tibi gratias agimus.

Rursum inclinato capite dicit sacerdos,

Propter hoc tibi offerimus rationalem hunc, & immaculatum cultum , & inuocamus , & rogamus, & supplicamus , emitte spiritum tuum sanctum

ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ, καὶ ἀχράντοις, καὶ ἀμωμήτοις χερσὶν εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, καὶ ἀποστόλοις, εἰπών: λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. χορός. ἀμήν.

ὁμοίως μετὰ τὸ δειπνῆσαι, λαβὼν ποτήριον, καὶ εὐλογήσας, λέγων: πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο ἐστὶ τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν, καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

μυστικὴ εὐχή.

μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

ἐκφώνησις τοῦ ἱερέως.

τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες κατὰ πάντα καὶ διὰ πάντα.

ὁ χορός.

σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν.

πάλιν κλίνας τὴν κεφαλὴν λέγει ὁ ἱερεύς.

διὰ τοῦτο σοὶ προσφέρομεν τὴν λογικὴν ταύτην λατρείαν, καὶ ἀναίμακτον, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅ-

ctum super nos, & super proposita dona hæc.

Et surgens obsignat sacra dona, & dicit:

Et fac panem quidem hunc preciosum corpus Christi tui, Amen.

Et in calice dicit:

In calice uerò hoc, preciosum sanguinem Christi tui transmutans spiritu tuo sancto.

Sacerdos orat:

Vt fiat assumentibus in lotionem animarum, in remissionem peccatorum, in communionem sancti spiritus, in regni cœlorum impletionem, in fiduciam apud te, non in iuditium, non in condemnationem. Præterea offerimus tibi rationalem hunc cultum pro in fide requiescentibus maioribus, patribus, patriarchis, prophetis, & apostolis, præconibus, & euangelistis, martyribus, confeßoribus, continentibus, & omni spiritu in fide initiato. Præcipuè pro sanctißima, immaculata, super omnes benedicta domina nostra deipara, & semper uirgine Maria.

Vt uerò dignum & iustum est, glorificare te deiparam, & semper beatißimam & penitus incontaminatam matrem dei nostri, honoratiorem Cherubim, & gloriosiorem incomparabiliter Seraphim, quæ citra corruptionem deum peperit: uerè deiparam te magnificamus.

Hæc canente choro sacerdos dicit:

Luc.1.c. Aue gratia plena Maria, dominus tecum, benedi-

τὸν ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Καὶ ἀναστάμενος σφραγίζει τὰ ἅγια δῶρα.

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ χριστοῦ σου. ἀμήν.

Καὶ ἐν τῷ ποτηρίῳ λέγει.

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ αἷμα τοῦ χριστοῦ σου μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ.

Ὁ ἱερεὺς εὔχεται.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, καὶ μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν, ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου. Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν, θεοτόκου, καὶ ἀειπαρθένου μαρίας.

Ὡς ἀληθῶς ἄξιον καὶ δίκαιόν ἐστι, τοῦ δοξάζειν σὲ τὴν θεοτόκον, τὴν ἀεὶ μακαρίστην, καὶ παναμώμητον, καὶ μητέρα τοῦ θεοῦ ἡμῶν, τὴν τιμιωτέραν τῶν χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφίμ, τὴν ἀδιαφθόρως θεὸν λόγον τεκοῦσαν, τὴν ὄντως θεοτόκον σὲ μεγαλύνομεν.

Ψάλλοντος ταῦτα τοῦ χοροῦ, ὁ ἱερεὺς λέγει·

Χαῖρε κεχαριτωμένη μαρία, ὁ κύριος μετὰ σοῦ, εὐλογη=

benedicta tu in mulieribus, & benedictus fructus uentris tui: quoniam saluatorem peperisti animarum nostrarum.

Oratio.

Honorabilium, incorporalium, supercœlestium potestatũ, et sancti Ioannis prophetæ, præcursoris, & Baptistæ, sanctorũ, gloriosorũ & omnino celebriũ apostolorũ, sancti huius cuius & memoriam agimus, & omnium sanctorum tuorum, quorum supplicationibus respice nos deus, & memento omnium qui dormierunt in spe resurrectionis & uitæ æternæ, & requiescere eos facito, ubi uidetur lumen uultus tui.

Adhuc te inuocamus. Memento domine omnis episcopatus orthodoxorum rectè interpretantium uerbum tuæ ueritatis, totius sacerdotij, in Christo diaconatus & omnis sacerdotalis ordinis. Etiam offerimus tibi rationale hoc obsequium pro orbe terrarum, pro sancta catholica & apostolica ecclesia, pro ijs quoque qui in pura & casta uita degunt. Pro fidelissimis & Christum amantibus, nostris regibus, omni palatio, & exercitu illorum: da illis domine pacificam robur, ut & nos in tranquillitate illorum, pacatam, & quietam uitam agamus in omni pietate & religione.

Exclamatio.

In primis memento domine omnis episcopatus orthodoxorum, & rectè interpretantium uerbum tuæ ueri-

εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

εὐχή.

τῶν τιμίων, ἀσωμάτων, ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, προδρόμου, καὶ βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων πανευφήμων ἀποστόλων, τοῦ ἁγίου, τοῦ δεῖνος καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός, καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

ἔτι σὲ παρακαλοῦμεν. μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου τῆς ἐν χριστῷ διακονίας, καὶ παντὸς τοῦ ἱερατικοῦ τάγματος. ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων. ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν. δὸς αὐτοῖς κύριε εἰρηνικὸν τὸ κράτος, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

ἐκφώνησις.

ἐν πρώτοις μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς

ἀλη-

ueritatis. Chorus,
Et quos quisque in animo cogitat.
Diaconus,
Et da nobis uno ore & uno corde glorificare & celebrare preciosum & augustum nomē tuum patris, & filij, & sancti spiritus, nunc & semper, & in secula seculorum. Amen. Diaconus,
Et sint misericordiæ magni dei & saluatoris nostri IESV Christi, cum omnibus nobis.
Populus, Amen. Diaconus.
Omnium sanctorum memoriam agentes, etiam atque etiam in pace dominum rogemus.
Populus, Domine miserere. Diac.
Superadductis, & sanctificatis preciosis donis, dominum rogemus.
Populus, Domine miserere. Diac.
Quoniam humanus deus noster, qui suscepit hæc in sanctum & supercœlestem, & intellectuale sacrarium suum.
Populus, Domine miserere. Diac.
Vt uicissim dimittat & nobis diuinam gratiam, & communionem sancti spiritus, dominum rogemus.
Populus, Domine miserere. Diac.
Vt liberet nos ab omni tribulatione iræ, & necessitatis, dominum rogemus.
Populus, Domine miserere.
Oratio.
Memento

ἀληθείας. ὁ χορός,
καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει.

ὁ διάκονος,

καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. ὁ διάκ.

Καὶ ἔσω τὰ ἐλέη τοῦ μεγάλου θεοῦ, καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων ἡμῶν.

ὁ λαός, ἀμήν. ὁ διάκονος,

μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον. ὁ διάκ.

ὑπὲρ τῶν προσκομισθέντων, καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον. ὁ διάκ.

ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν θυσιαστήριον αὐτοῦ.

ὁ λαός, κύριε ἐλέησον. ὁ διάκ.

ἀντικαταπέμψῃ καὶ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον. ὁ διάκ.

ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως ὀργῆς, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, κύριε ἐλέησον.

εὐχή.

μνήσθη

Memento domine gregis nostri huius, in quo habitamus, & totius ciuitatis, & regionis, & in fide habitantium in ipsis. Memento domine nauigantium, uiatorum, ægrotantium, laborantium, captiuorum, & salutis ipsorum. Memento domine fructificantium & laborantium in sanctis tuis ecclesiis, & qui pauperum meminerunt, & super omnes nos misericordias tuas emitte.

Sacerdos inclinans orat,

Tibi commendamus uitam nostram omnem, & spem domine amator hominum, & inuocamus te, & rogamus, & supplicamus. Dignos nos facito, ut participes simus supercœlestium tuorum & tremendorum mysteriorum huius sacræ & spiritalis mensæ cum pura conscientia, in remissionem peccatorum, in condonationem delictorum, in spiritus sancti communionem, in regni cœlestis hæreditatem, in fiduciam erga te, non in iuditium, aut condemnationem.

Diaconus,

Defende, serua, miserere, & custodi nos deus tua gratiâ.

Diem omnem perfectum, sanctum, pacificum & sine peccatis à domino postulemus.

Populus, *Præsta domine.*

Nuncium pacis, fidelem ducem, custodem animarum & corporum nostrorum, à domino postulemus.

Populus, *Præsta domine.*

Veniam

μνήσθητι κύριε τῆς ποίμνης ἡμῶν ταύτης ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως, καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐτοῖς. μνήσθητι κύριε πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. μνήσθητι κύριε τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις. καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

ὁ ἱερεὺς κλινόμενος εὔχεται,

Σοὶ παρακατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε, καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς, καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα.

ὁ διάκονος,

ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε.

ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε.

συγγνώ-

Veniam & remißionem peccatorum & delicto=rum nostrorum, à domino postulemus.

Populus, Præsta domine. Diac.

Honesta & conducibilia animabus nostris, & pa=cem mundo, à domino postulemus.

Populus, Præsta domine. Diac.

Vt reliquum tempus uitæ nostræ in pace finiamus, & pœnitentia nostra, à domino postulemus.

Populus, Præsta domine. Diac.

Christianum finem uitæ nostræ, doloris & turpitu=dinis expertem, pacatum, & honestam purgationem, à domino postulemus.

Exclamatio sacerdotis:

Et dignos fac nos domine, ut cum fiducia, & sine condemnatione audeamus inuocare te, supercœlestem deum, & dicere:

Populus,

Pater noster qui es in cœlis, sanctificetur nomen tu=um: & reliqua.

Exclamat sacerdos,

Quoniam tuum est regnum, & potestas, & gloria, patris, & filij, & sancti spiritus, nunc & semper, & in secula seculorum. Chorus, Amen.

Sacerdos, *Pax omnibus.*

Diaconus, *Capita uestra deo inclinate.*

Sacerdos dicit orationem hanc:

Gratias agimus tibi rex inuisibilis, qui immensa tua uirtute omnia condidisti, & multitudine misericor=

συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ Διάκ.

τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ Διάκ.

τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ ἐκτελέσαι καὶ μετανοίᾳ ἡμῶν παρὰ τῷ κυρίῳ αἰτησώμεθα.

ὁ λαός, παράσχου κύριε. ὁ Διάκ.

χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν ἀνώδυνα, ἀναίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ἐκφώνησις τοῦ ἱερέως,

καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον θεὸν καὶ λέγειν:

ὁ λαός,

πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου καὶ τὰ λοιπά.

ἐκφωνεῖ ὁ ἱερεύς,

ὅτι σου ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. χο. ἀμήν.

ὁ ἱερεύς, εἰρήνη πᾶσι. ὁ διάκονος,

τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε.

ὁ ἱερεὺς λέγει ταύτην εὐχήν.

εὐχαριστοῦμέν σοι βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμέτρῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει

τοῦ ἐλέ-

misericordiæ tuæ à nihilo ad esse uniuersa produxisti, ipse domine, cœlitus respice ad seruos tuos, inclinantes tibi sua capita. Non enim inclinarunt carni & sanguini, sed tibi metuendo & humano deo. Tu igitur domine proposita dona omnibus nobis in bonum exæques iuxta propriam cuiusque indigentiam, cum nauigantibus nauiga, cum uiatoribus uiam ambula, ægrotos sana, medicus animarum & corporum.

Exclamatio.

Gratiâ & miserationibus, & humanitate unigeniti tui filij, cum quo benedictus es, cum sanctissimo, & bono, & uiuificante tuo spiritu, nunc & semper, & in secula seculorum, Amen.

Sacerdos orat:

Attende domine IESV *Christe deus noster, de sancto habitaculo tuo, & de throno gloriæ regni tui & ueni ad sanctificandum nos, qui in excelsis unà cum patre sedes, & hic nobiscum inuisibiliter ades, & dignos nos redde potente manu tua, ut participes simus immaculati tui corporis, & preciosi tui sanguinis, & per nos omnis populus.*

Sacerdos autem incensi fumum spargit sacris.

Exclamatio. Attendamus.

Sacerdos eleuans sanctum panem, dicit:

Sancta sanctis.

Chorus dicit:

Vnus sanctus, unus dominus IESVS *Christus in gloriam dei patris.*

τῷ ἐλέει σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ σύμπαντα παραγαγών, αὐτὸς δέσποτα οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς. οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ καὶ φιλανθρώπῳ θεῷ. σὺ οὖν δέσποτα τὰ προκείμενα δῶρα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν. τοῖς πλέουσι σύμπλευσον. τοῖς ὁδοιποροῦσι συνόδευσον. τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων.

ἐκφώνησις

Χάριτι καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ὁ ἱερεὺς εὔχεται.

Πρόσχες κύριε Ἰησοῦ Χριστέ, ὁ θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ πατρὶ συγκαθεζόμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σου σώματος, καὶ τοῦ τιμίου σου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

ὁ δὲ ἱερεὺς θυμιᾷ τὰ ἅγια.

ἐκφώνησις, πρόσχωμεν.

ὁ ἱερεὺς ὕψων τὸν ἅγιον ἄρτον, λέγει·

τὰ ἅγια τοῖς ἁγίοις.

ὁ δὲ χορὸς λέγει·

εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν θεοῦ πατρός.

Sacerdos autem eleuat panem, dicens:

Super cœlos deus, & super omnem terram gloria eius effusa est.

Diuisurus sacerdos panem, dicit:

Diuiditur agnus dei, qui tollit peccatum mundi.

Et accipiens sacerdos ex pane particulam, mittit in calicem, dicens:

Plenitudo spiritus sancti, nunc & semper, & in secula seculorum. Amen.

Et tunc sacerdos assumit, & populus canit. Et sacerdos potitus particula diuini corporis, dicit:

Luc. 23. c. *Conuiuij tui mystici hodie, fili dei, communionem assumpsi, non tamen hostibus tuis dixi mysterium. Neque osculum tibi dabo quemadmodum Iudas, sed uelut latro ille confitebor tibi, Memento mei domine quũ ueneris in regnum tuum.*

Hanc orationem dicunt duo, priusquàm assumant diuina.

Deus remitte, dimitte, ignosce mihi peccatori peccata mea, & uoluntaria & inuoluntaria, siue in cognitione, siue in ignorantia, siue in uerbo, siue in opere, siue in concupiscentia feci, omnia mihi ignosce: quoniã bonus, & humanus, longanimis, & multæ misericordiæ. & intercessione immaculatæ, dominæ nostræ deiparæ, & semper uirginis Mariæ, dignum me fac, ut sine condemnatione accipiam immaculatum tuum donum

ὁ δὲ ἱερεὺς ὑψῶ τὸν ἄρτον, λέγων:

ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα αὐτοῦ διεχύθη.

μέλλων δὲ αὐτὸν μελίσαι, λέγει:

Μελίζεται ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τοῦ ἄρτου μερίδα βάλει εἰς τὸ ποτήριον, λέγων:

πλήρωμα πνεύματος ἁγίου πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

καὶ τότε ὁ ἱερεὺς μεταλαμβάνει, καὶ ὁ λαὸς ψάλλει. καὶ ὁ ἱερεὺς κρατῶν μερίδα τοῦ θεοῦ σώματος, λέγει:

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ κοινωνόν με παρέλαβον. οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου εἴπω τὸ μυστήριον. οὐδὲ φίλημά σοι δώσω καθάπερ ὁ ἰούδας, ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

ταύτην τὴν εὐχὴν λέγουσιν οἱ δύο πρὶν τοῦ μεταλαβεῖν τὰ θεῖα.

Ο θεὸς ἄνες, ἄφες, συγχώρησόν μοι τῶν ἁμαρτιῶν τὰ παραπτώματά μου, τὰ ἑκούσιά τε καὶ ἀκούσια, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν ἐνθυμήσει ἔπραξα, πάντα μοι συγχώρησον. ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος, μακρόθυμος, καὶ πολυέλεος. καὶ τῇ πρεσβείᾳ τῆς ἀχράντου, δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου μαρίας, ἀκατακρίτως με ἀξίωσον δέξασθαι τὴν ἄχραντόν σου δωρε-

num, in remißionem peccatorum, in uitam æternam, in purgationem malarum mearum cogitationum, in illustrationem mandatorum tuorum: quoniam te decet gloria, honor, & adoratio, patrem, & filium, & sanctum spiritum, nunc & semper, & in secula seculorum. A.

Oratio.

Fiat mihi domine IESV Christe corpus tuum sanctum in remißionem peccatorum meorum, & sanguis tuus preciosus in uitam æternam. Et in secundo tuo aduentu annumera me iustis tuis, & electis omnibus.

Oratio sacerdotis.

Gratias agimus tibi domine humane, benefactor animarum nostrarum, quoniam & hodierno die dignatus es nos supercœlestibus tuis & immortalibus mysterijs: dirige nostram uiam, confirma nos in timore tuo omnes, custodi uitam nostram, stabili nostros gressus, precibus & supplicationibus sanctæ deiparæ, & semper uirginis Mariæ, & omnium sanctorum.

Tunc aperitur magnum ostium suspensis lucernis, & sacerdos ostendit calicem populo, dicens:

Cum timore dei, & fide, & dilectione accedite.

Chorus dicit:

Benedictus, qui uenit in nomine domini.

Sacerdos dicit:

Benedictus deus noster, nunc & semper, & in secula seculorum. Amen.

Diaconus

ἀν, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, εἰς κάθαρσιν τῶν πονηρῶν μου λογισμῶν, εἰς φωτισμὸν τῶν ἐντολῶν σου. ὅτι σοὶ πρέπει δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εὐχή.

Γένοιτό μοι κύριε ἰησοῦ χριστὲ τὸ σῶμά σου τὸ ἅγιον εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ αἷμά σου τὸ τίμιον εἰς ζωὴν αἰώνιον. καὶ ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ συναρίθμησόν με τοῖς δικαίοις σου, καὶ ἐκλεκτοῖς προβάτοις.

Εὐχὴ τοῦ ἱερέως.

Εὐχαριστοῦμέν σοι δέσποτα φιλάνθρωπε εὐεργέτα τῶν ψυχῶν ἡμῶν. ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. ὀρθοτόμησον ἡμῶν τὴν ὁδὸν, στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου πάντας, φρούρησον ἡμῶν τὴν ζωὴν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἁγίας θεοτόκου, καὶ ἀειπαρθένου μαρίας, καὶ πάντων τῶν ἁγίων.

Τότε τὸ μέγα βηλόθυρον ἀνοίγεται ἀναμένοις λαμπάσι, καὶ ὁ ἱερεὺς δεικνύει τὸ ποτήριον τῷ λαῷ, λέγων.

Μετὰ φόβου θεοῦ, καὶ πίστεως, καὶ ἀγάπης προσέλθετε.

καὶ ὁ χορὸς ψάλλει:

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

καὶ ὁ ἱερεὺς λέγει:

Εὐλογητὸς ὁ θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Diaconus egressus è sancto altari, dicit post depositionem sanctorum donorum:

Recti qui participes fuimus diuinorum, immacula torum, immortalium, supercœlestium, uiuificantium, tre mendorum mysteriorum, dignè in omnibus gratias agamus domino.

Diaconus,

Defende, serua, miserere, et custodi nos deus tua gratiâ.

Omnem diem perfectum, sanctum, pacatum, & peccati expertem postulantes, nosipsos, & inuicem, &c.

Exclamatio sacerdotis.

Quoniam tu sanctificatio nostra, & tibi gloriam referimus, patri, & filio, & spiritui sancto.

Diaconus,	In pace accedite.
Populus,	In nomine domini.
Diaconus,	Dominum rogemus.
Populus,	Domine miserere.

Oratio post ambonem.

Qui benedicis benedicentibus tibi domine, & sanctificas in te confidentes, salua populum tuum, & benedic hæreditati tuæ. Plenitudinem ecclesiæ tuæ custodi, sanctifica diligentes decorem domus tuæ. Tu ipsos uicissim glorifica diuina tua uirtute, & ne deseras nos sperantes in te: pacem mundo tuo da, ecclesiis tuis, sacerdotibus, regibus nostris, exercitui, & omni popu-
Iacob.1.b. lo tuo: quoniam omne donum bonum, & omne datum

ὁ διάκονος ἐξελθὼν ἐκ τοῦ ἁγίου βήματος, λέγει μετὰ τὴν ἀπόθεσιν τῶν ἁγίων δώρων.

Ὀρθοί· οἱ μεταλαβόντες τῶν θείων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν μυστηρίων, ἀξίως ἐπὶ πᾶσιν εὐχαριστήσωμεν τῷ κυρίῳ.

ὁ διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους· καὶ τὰ λοιπά. Ἐκφώνησις τοῦ ἱερέως.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι.

ὁ διάκονος, Ἐν εἰρήνῃ προσέλθετε.

ὁ λαός, Ἐν ὀνόματι κυρίου.

ὁ διάκονος, Τοῦ κυρίου δεηθῶμεν.

ὁ λαός, Κύριε ἐλέησον.

Εὐχὴ † ὀπισθάμβωνος. † ὀπισθο=βάμωνος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώ

tum perfectum, desursum est descendens ex te patre luminum.Et tibi gloriam,& gratiarum actionem, & adorationem offerimus,patri,& filio, & sancto spiritui,nunc & semper,& in secula seculorum. Amen.

Tunc populus dicit:

Sit nomen domini benedictum, ex hoc nunc & usq; in seculum.

Benedicam dominum in omni tempore,semper laus eius in ore meo:& reliqua.

Sacerdos autem benedicit sancta,& exuit.

Qui ipse es impletio legis & prophetarum, Christe deus noster,qui implesti omnem paternam dispensationem,imple gaudio & exultatione corda nostra, nunc & semper, & in secula seculorum.Amen.

FINIS.

Deo plurima gratia.Amen.

ρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων. καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

τότε ὁ λαὸς λέγει:

Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, ὁ αἶνος αὐτοῦ ἐν τῷ σόματί μου: καὶ τὰ λοιπά.

ὁ δὲ ἱερεὺς εὐλογεῖ τὰ ἅγια, καὶ ἐκφώνει.

Τὸ πλήρωμα τοῦ νόμου, καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων χριστὲ ὁ θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς, καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΕΛΟΣ.

τῷ θεῷ πλείστη χάρις. ἀμήν.

ΕΚ ΤΟΥ ΓΕΡΜΑΝΟΥ ΙΣΤΟ- ρίας ἐκκλησιαστικῆς.

περὶ τῆς ἐκκλησίας. α.

Ἐκκλησία ἐστὶ ναὸς θεοῦ, τέμενος ἅγιον, οἶκος προσευχῆς, συνάθροισις λαοῦ, σῶμα χριστοῦ, ὄνομα αὐτοῦ, νύμφη χριστοῦ, ἐκκαλουμένη πρὸς μετάνοιαν, καὶ πρὸς εὐχὴν τοὺς λαούς. τῷ ὕδατι τοῦ ἁγίου βαπτίσματος αὐτοῦ καθαριθεῖσα, καὶ τῷ αἵματι αὐτοῦ τῷ τιμίῳ ἐρραντισμένη, καὶ νυμφικῶς ἐστολισμένη, καὶ τῷ τοῦ ἁγίου πνεύματος μύρῳ σφραγιζομένη, κατὰ τὸν προφητικὸν λόγον, μύρον ἐκκενωθὲν ὄνομά σοι, καὶ εἰς ὀσμὴν μύρου σου δραμοῦμαι, ὅτι ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὦαν τοῦ ἐνδύματος αὐτοῦ.

Ἄλλως.

Ἐκκλησία ἐστὶν ἐπίγειος οὐρανός, ἐν ᾗ ὁ ἐπουράνιος θεὸς ἐνοικεῖ καὶ ἐμπεριπατεῖ, ἀντιτυποῦσα τὴν σταύρωσιν, καὶ τὴν ταφήν, καὶ τὴν ἀνάστασιν χριστοῦ, δεδοξασμένη ὑπὲρ τὴν σκηνὴν τοῦ μαρτυρίου τοῦ Μωϋσέως, ἐν πατριάρχαις προτυπωθεῖσα, ἐν ἀποστόλοις θεμελιωθεῖσα. ἐν ᾗ τὸ ἱλαστήριον, καὶ τὰ ἅγια τῶν ἁγίων, ἐν προφήταις προκηρυχθεῖσα, ἐν ἱεράρχαις κατακοσμηθεῖσα, καὶ ἐν μάρτυσι τελειωθεῖσα, καὶ ἐν τοῖς ἁγίοις αὐτῶν λειψά-

λειψάνοις ἐνθρονιασθεῖσα.

Ἄλλως.

Ἐκκλησία ἐστὶν οἶκος θεῖκός, ἔνθα ἡ μυστικὴ ζωοθυσία γέγονε, καὶ τὰ ἔνδον τοῦ ἱερατείου, καὶ τὸ ἅγιον σπήλαιον. ἔνθα ὁ τάφος καὶ ἡ τράπεζα ἡ ψυχοτρόφος, ἡ ζωοποιὸς, καὶ ἡ ἐν αὐτῇ μαργαρῖται, τὰ θεῖα δόγματα τῆς διδασκαλίας τοῦ κυρίου πρὸς τοὺς μαθητὰς αὐτοῦ.

Περὶ τοῦ βαπτίσματος. β.

Τὸ βάπτισμά ἐστι, καθὼς ὁ θεὸς διετάξατο τῷ Μωϋσῇ λέγων, καταβὰς διαμάρτυρε τῷ λαῷ τούτῳ, καὶ ἅγνισον αὐτοὺς, καὶ πλυνάτωσαν τὰ ἱμάτια αὐτῶν, καὶ ἔστωσαν ἕτοιμοι τοῦ ἀναβῆναι εἰς τὸ ὄρος πρός με. καὶ πάλιν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγει κύριος ὁ θεὸς, λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡσεὶ χίονα λευκανῶ. καὶ πάλιν αὐτὸς ὁ κύριος λέγει, ἐὰν μή τις γεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. καὶ τοῖς αὐτοῦ ἀποστόλοις παρήγγελε λέγων, πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς, εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. βεβαπτίσμεθα δὲ κατὰ τὸν θάνατον αὐτοῦ τοῦ χριστοῦ, καὶ τὴν ἀνάστασιν αὐτοῦ. διὰ γὰρ τῆς ἐν τῷ ὕδατι καταδύσεώς τε, καὶ ἀναδύσεως, τριπλῆς τε ἐπικλύσεως, τὴν τριήμερον

ταφὴν

ταφὴν καὶ τὴν ἀνάστασιν αὐτοῦ τοῦ χριστοῦ, ἐξεικονίζομεν καὶ ὁμολογοῦμεν. ἔτι δὲ καὶ ὅτι αὐτὸς ἐβαπτίσθη ἐν τῷ ἰορδάνῃ ὑπὸ ἰωάννου.

περὶ χρίσματος. γ.

Τὸ χρίεσθαι ἐλαίῳ τοὺς βαπτιζομένους, ἐστὶ ἤδη τὸ ἔλαιον ᾧ ἐχρίοντο οἱ βασιλεῖς τε ἱερεῖς καὶ οἱ προφῆται, καθὼς καὶ ὁ χριστὸς ἐχρίσθη, ὡς βασιλεὺς, καὶ ἱερεὺς τῷ χρίσματι τῆς σαρκώσεως. ἔστι δὲ καὶ τὸ μὴ δύνασθαι τὸν διάβολον κρατεῖν ἡμῶν τῷ κράτει τῆς ἁμαρτίας τοῦ θανάτου, ὅ ἐστιν, ὁ παράβασις τοῦ Ἀδὰμ ἐπελθὼν ἡμῖν θάνατος.

περὶ τῆς ἁγίας τραπέζης. δ.

Η ἁγία τράπεζά ἐστιν, ἀντὶ τοῦ τόπου τῆς ταφῆς, ἐν ᾧ ἐτέθη ὁ χριστὸς, ἐν ᾗ πρόκειται ὁ ἀληθινὸς καὶ οὐράνιος ἄρτος, ἡ μυστικὴ καὶ ἀναίμακτος θυσία, ζωοθυτουμένου τὴν σάρκα αὐτοῦ καὶ τὸ αἷμα εἰς βρῶσιν καὶ πόσιν ζωῆς αἰωνίου προέθηκε τοῖς πιστοῖς. ἔστι δὲ καὶ θρόνος θεοῦ ἡ αὐτὴ, ἐν ᾧ ὁ ἐπουράνιος θεὸς, ὁ ἐπὶ τῶν χερουβὶμ ἐποχούμενος, σωματωθεὶς ἐπανεπαύσατο, καθ' ἣν τράπεζαν τε ἐν τῷ μυστικῷ αὐτοῦ δείπνῳ, μέσον τῶν ἀποστόλων αὐτοῦ καθίσας καὶ λαβὼν ἄρτον καὶ οἶνον, εἶπε τοῖς αὐτοῦ μαθηταῖς, καὶ ἀποστόλοις, λάβετε, φάγετε, καὶ πίετε ἐξ αὐτοῦ. τοῦτο γάρ ἐστι τὸ σῶμά μου, καὶ αἷμά μου. προετυπώθη δὲ ἐν τῇ νομικῇ τραπέζῃ, ἔνθα ἦν τὸ μάννα, ὅ ἐστι χριστὸς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.

ἄλλως.

Ἄλλως.

Ἡ ἁγία τράπεζά ἐστιν, ἀντὶ τῆς τραπέζης τοῦ
χριστοῦ σὺν τοῖς μύσταις, καὶ οἱ ἐν αὐτῇ μαρ-
γαρῖται, τὰ θεῖα δόγματα τῆς
διδασκαλίας τοῦ χριστοῦ
πρὸς τοὺς μαθη-
τάς.

ΤΈΛΟΣ.

C 18692084